1 Δάα. Δ

2 Δάβαινα: ὄνομα τόπου. καὶ Δαβαινίτης. Δ

3 Δαγίσθαιος: ὄνομα κύριον. Δ

4 Δαγών: εἴδωλον ὑπὸ τῶν ἀλλοφύλων θεραπευόμενον, ᾧ τὴν κιβωτὸν λαβόντες ἀνέθεσαν.

5 Δᾆδες: λαμπάδες. καὶ Δᾳδίον παρὰ πολλοῖς. Σ Δ

6 Δᾳδουχεῖ: φαίνει. καὶ Δᾳδουχήσας Ἀθήνησιν. ὡς Ἀθη- Σ
ναίων φασὶν οἱ ταῦτα ἀκριβοῦντες δόκιμοι· εὔξαντο δὲ καὶ τῇ Βουλαίᾳ E
καὶ τῇ κόρῃ διά τε τῶν ἱεροφαντῶν καὶ τοῦ δᾳδούχου σωτηρίαν αὐτοῖς.
καὶ Δᾳδουχήσας, λαμπαδηφορήσας. ὁ πρὸ Στρατοκλέους Ἀθήνησι δᾳδουχήσας, ἐκ τῆς ἡδονῆς, ἣν ἐκεῖνος ὕμνει ὁ χλούνης τε καὶ γύννις.

7 Δᾶερ: ἀνδράδελφος. ἐπὶ κλητικῆς. ἡ δὲ εὐθεῖα δαήρ. Δ

8 Δάειρα: ὄνομα κύριον. Δ

9 Δαημονέστεροι: ἐμπειρότεροι. Δ

10 Δαημονέστατος: ἐμπειρότατος. ἦν δὲ ὁ Ἀλέξανδρος καὶ τάξαι Δ E
στρατιὰν καὶ ὁπλίσαι δαημονέστατος. ἦσαν δὲ καὶ τελετῶν ἀμφότεροι δαημονέστατοι. καὶ Δαημονεστάτων, ἐμπείρων, ἐπιστη- Δ + E
μόνων. οἷα δὴ δαημονεστάτων τὰ πολέμια. πέμπει δὲ πρεσβευτὴν E
τῆς τε Ἑλλήνων φωνῆς δαήμονα καὶ τῆς Ῥωμαίων οὐ πάντη ἀνήκουστον, ὡς καὶ τοῦ πολίτην Ῥωμαίων κατὰ ποίησιν γενέσθαι μὴ δόξαι ἀνάξιον.

11 Δαΐ: τῇ μάχῃ. ἐν Ἐπιγράμμασιν· ἁ πάρος αἱματόεν πολέμου Δ
μέλος ἐν δαΐ, σάλπιγξ, καὶ γλυκὺν εὐράνας ἐκπροχέουσα νόμον. Anth